22-12-

† Μνήμη τῆς Ἁγίας Μεγαλομάρτυρος Ἀναστασίας τῆς Φαρμακολυτρίας.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὸν Ἑξάψαλμον,...

Συναπτὴ μεγάλη καὶ ἡ Ἐκφώνησις

Ὅτι πρέπει σοι πᾶσα δόξα...

Ἦχος α΄.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τόν αἰῶνα τό ἔλεος αὐτοῦ.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ. β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ. γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Ἀπολυτίκιον.

Ἦχος α’. Τῆς ἐρήμου πολίτης.

Φερωνύμως τῇ αἴγλῃ, τῆς Χριστοῦ Ἀναστάσεως, καταυγαζομένη Μαρτύρων, ἐμιμήσω τὴν ἔνστασιν, καὶ ἤθλησας ὡς ἄσαρκος στεῤῥῶς, τὴν φλόγα ὑποστᾶσα τοῦ πυρός· διὰ τοῦτο τῶν θαυμάτων τοὺς ποταμούς, πηγάζεις τοῖς ἐκβοῶσι· Δόξα τῷ σὲ ἰσχύσαντι Θεῷ· δόξα τῷ σὲ στεφανώσαντι· δόξα Ἀναστασία τῷ τὴν σήν, μνήμην δοξάζοντι.

Δόξα...Ἕτερον

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Παθεῖν ὡς προκρίνασα, ὑπὲρ τῆς δόξης Χριστοῦ, βασάνων ὑπήνεγκας, τὰς ἀνυποίστους πληγάς, καὶ χαίρουσα ἤθλησας. Ὅθεν Ἀναστασία, τῶν ἐπάθλων τυχοῦσα, βλύζεις τῶν ἰαμάτων, τὴν ἀείζωον χάριν, τοῖς ὕμνοις ἐπιτελοῦσι, τὴν θείαν μνήμην σου.

Καὶ νῦν... Τὸ Προεόρτιον.

Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Ἑτοιμάζου Βηθλεέμ· ἤνοικται πᾶσιν ἡ Ἐδέμ. Εὐτρεπίζου Ἐφραθᾶ, ὅτι τὸ ξύλον τῆς ζωῆς, ἐν τῷ Σπηλαίῳ ἐξήνθησεν ἐκ τῆς Παρθένου. Παράδεισος καὶ γάρ, ἡ ἐκείνης γαστήρ, ἐδείχθη νοητός, ἐν ᾧ τὸ θεῖον φυτόν, ἐξ οὗ φαγόντες ζήσωμεν, οὐχὶ δὲ ὡς ὁ Ἀδὰμ τεθνηξόμεθα. Χριστὸς γεννᾶται, τὴν πρίν πεσοῦσαν, ἀναστήσων εἰκόνα.

Συναπτὴ μικρά καὶ ἡ Ἐκφώνησις

Ὅτι σὸν τὸ κράτος...

Καθίσματα.

Μετὰ τὴν α’ Στιχολογίαν,

Ἦχος α’. Τὸν τάφον Σου.

Χριστῷ τῷ δι’ ἡμᾶς, ἐκ Παρθένου Μαρίας, ἐν πόλει Βηθλεέμ, ἀποῤῥήτως τεχθέντι, ὡς θείῳ νυμφίῳ σου, μανικῶς ἀγαπήσασα, τὸ μαρτύριον, Ἀναστασία ὑπῆλθες, καὶ κατέπαυσας, ἔνθα αὐτοῦ καταυγάζει, τὸ φῶς τὸ ἀπρόσιτον.

Δόξα...Ὅμοιον.

Τοῦ κόσμου τὰς τρυφάς, ὡς φθαρτὰς παριδοῦσα, Χριστῷ τῷ μυστικῷ, τῆς ψυχῆς σου νυμφίῳ, θερμῶς ἠκολούθησας, Ἀθληφόρε πανεύφημε, καὶ συνήρμοσαι, αὐτῷ ὡς ἄμωμος νύμφη, δι’ ἀθλήσεως,

Ἀναστασία τῶν ἄθλων· διὸ εὐφημοῦμέν σε.

Καὶ νῦν... Προεόρτιον. Ὅμοιον.

Ἀγάλλου ἡ Σιών· Βηθλεὲμ εὐτρεπίζου· ὁ πάντων συνοχεύς, τὸν ἀστέρα προπέμψας, μηνύει τὴν ἄμετρον, ἑαυτοῦ συγκατάβασιν· ὃν γὰρ τρέμουσι, τῶν οὐρανῶν αἱ Δυνάμεις, ὄντως τίκτεται, ἐκ τῆς Παρθένου ἀτρέπτως, ὁ μόνος Φιλάνθρωπος.

Μετὰ τὴν β' Στιχολογίαν,
Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Μαρτύρων τὰ σκάμματα, μιμησαμένη καλῶς, αὐτῶν ἐκοινώνησας, τῆς δόξης ἐν οὐρανοῖς, ὡς Μάρτυς πανεύφημος. Ὅθεν Ἀναστασία, ἰαμάτων τὴν χάριν, ἔχουσα νοσημάτων, καὶ πικρῶν ἀλγηδόνων, διάσωσον ἡμᾶς τοὺς πιστῶς, τελοῦντας τὴν μνήμην σου.

Δόξα... Ὅμοιον.

Χριστοῦ ὡς μαθήτρια, ἐφεπομένη αὐτῷ, τὸ θράσος ἐπάτησας, τῶν ἀσεβῶν διωκτῶν, καὶ ἤθλησας ἄριστα· ᾔσχυνας τοῦ ἀρχαίου, πτερνιστοῦ τὴν μανίαν· ὤφθης Ἀναστασία, κοινωνὸς τῶν Μαρτύρων· μεθ' ὧν ὑπὲρ ἡμῶν ἐκτενῶς, δυσώπει τὸν Κύριον.

Καὶ νῦν... Προεόρτιον. Ὅμοιον.

Ἐνθέως εὐφραίνεται, ἡ κτίσις σήμερον· Χριστὸς γὰρ ὁ Κύριος, ὁ τοῦ Θεοῦ μου Υἱός, ἐκ Κόρης γεννᾶται Ἁγνῆς, ἅπαν τὸ τῶν ἀνθρώπων, γένος ἀθανατίζων, λύων καὶ τὴν κατάραν, τῆς προμήτορος Εὔας· διὸ ὡς Εὐεργέτῃ ἡμῶν, ᾆσμα προσάξωμεν.

Μετὰ τὸν Πολυέλεον,
Ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Τῶν βασάνων φέρουσα, καρτερικῶς τὰς ὀδύνας, τῶν τυράννων ἔθραυσας, τὴν ἐπηρμένην μανίαν· ἔλαμψας, ὡς ἑωσφόρος τῷ μαρτυρίῳ· ἔλυσας, θεοεχθρίας τὴν σκοτομήνην· διὰ τοῦτο τῶν θαυμάτων, Ἀναστασία τὴν χάριν ἔλαβες.

Δόξα... Ὅμοιον.

Τὴν ἰσχὺν τῆς πίστεως, ἐνδεδυμένη θεόφρον, μαρτυρίου ἤνυσας, διὰ πυρὸς τὸν ἀγῶνα· ὅθεν σε, τῆς Ἀναστάσεως φερωνύμως, χάρισιν, ὁ Ἀθλοθέτης κατακοσμήσας, διὰ σοῦ ἡμῖν παρέχει, Ἀναστασία τὸ θεῖον ἔλεος.

Καὶ νῦν. Προεόρτιον. Ὅμοιον.

Τὴν Παρθένον κύουσαν, τὸν προαιώνιον Λόγον, Ἰωσὴφ ὁ δίκαιος, ὑμνολογῶν ἀνεβόα· Βλέπω σε, γεγενημένην Ναὸν Κυρίου, φέρουσαν, τὸν πάντας σῶσαι βροτοὺς ἐλθόντα, καὶ τοὺς τοῦτον ἀνυμνοῦντας, δι' οἶκτον θείους ναοὺς δεικνύοντα.

Τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου.
Ἀντίφωνον Α'.

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη· ἀλλ' αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου. (δὶς)

Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμένοι. (δὶς)

Δόξα.

Ἁγίῳ Πνεύματι πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται, λαμπρύνεται, τῇ τριαδικῇ μονάδι ἱεροκρυφίως.

Καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα, ἅπασαν τὴν κτίσιν πρὸς ζωογονίαν.

Προκείμενον. Ψαλμὸς ριγ΄113

Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι. (δὶς)

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου.

Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.

Ἡ Τάξις τοῦ Εὐαγγελίου τοῦ Ὄρθρου

Ἦχος β΄.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.
Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.
Αἰνεσάτω πνοὴ πᾶσα τὸν Κύριον.

Εὐαγγέλιον

Ἐκ τοῦ κατὰ

Δόξα σοι, Κύριε, δόξα σοι.

Καὶ εὐθὺς ὁ Ν΄ Ψαλμὸς χῦμα.

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος των οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διὰ παντὸς.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμα σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.

Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεὸς, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν ἔδωκα ἂν ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον΄ καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλὴμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Δόξα Πατρὶ... Ἦχος β'

Ταῖς Ἀθληφόρου,, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν...

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἰδιόμελον. Ἦχος πλ. β'

Τοῦ Σωτῆρος τὸ πάθος, οἰκείοις μέλεσι δοξάσασα, τῆς Ἀναστάσεως αὐτοῦ, τῶν δωρεῶν ἐκοινώνησας, σὺν Μαρτύρων χοροῖς εὐφραινομένη, ἐν τῷ ἀθανάτῳ νυμφῶνι τῆς ζωῆς. Ὅθεν πρέσβευε ὑπὲρ ἡμῶν, τῶν εὐλαβῶς ἐπιτελούντων τὴν μνήμην σου, Ἀναστασία Μάρτυς μεγαλώνυμε.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.(δ)

Ἐλέει καὶ οἰκτιρμοῖς...

## ΚΑΝΟΝΕΣ

(Ἐκ τοῦ Μηναίου)

Κανὼν ὁ Προεόρτιος.

Ὠδὴ α' Ἦχος πλ. β' Ὁ Εἱρμὸς

Τμηθείσῃ τμᾶται, πόντος Ἐρυθρός, κυματοτρόφος δὲ ξηραίνεται βυθός, ὁ αὐτὸς ὁμοῦ, ἀόπλοις γεγονὼς βατός, καὶ πανοπλίταις τάφος· ᾠδὴ δὲ θεοτερπὴς ἀνεμέλπετο, ἐνδόξως δεδόξασται, Χριστὸς ὁ Θεὸς ἡμῶν.

Στίχ. Δόξα σοι ὁ Θεός ἡμῶν, δόξα σοι.

Ἡ πανταιτία, καὶ παρεκτικὴ ζωῆς, ἡ ἄπειρος σοφία τοῦ Θεοῦ, ᾠκοδόμησε τὸν οἶκον ἑαυτῆς, ἁγνῆς ἐξ ἀπειράνδρου Μητρός· ναὸν γὰρ σωματικὸν περιθέμενος, ἐνδόξως δεδόξασται, Χριστὸς ὁ Θεὸς ἡμῶν.

Στίχ. Δόξα σοι ὁ Θεός ἡμῶν, δόξα σοι.

Μυσταγωγοῦσα, Μάγους συγκαλεῖ, τὴν ἀπαρχὴν Θεοῦ σοφία τῶν ἐθνῶν, τοὺς ἀλόγους πρὶν τραφῆναι λογικῶς, ἀλόγων ἐπὶ φάτνης τραπέζης, κειμένης τῆς μυστικῆς, πρὸς ἣν σπεύδουσι, σὺν δώροις ὁδεύοντες, ἀστέρος προλάμποντος.

Στίχ. Δόξα σοι ὁ Θεός ἡμῶν, δόξα σοι.

Ἀκουτισθῶμεν, νῦν προφητικῶν, ἐκπληρουμένων διὰ Πνεύματος φωνῶν· ἡ Παρθένος γὰρ λαβοῦσα ἐν γαστρί, ἐπείγεται τεκεῖν τὸν προόντα, ὃν Μάγοις μὲν οὐρανὸς καθυπέδειξε, ποιμέσι δὲ Ἄγγελοι, ὡς βρέφος φαινόμενον.

Κανὼν πρῶτος τῆς Ἁγίας.

Ὠδὴ α' Ἦχος α' Ὠδὴν ἐπινίκιον

Στίχ. Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Τὴν μνήμην σου σήμερον, Ἀναστασία, πιστῶς ἑορτάζομεν, ἣν Χριστὸς ἐδόξασεν, ἀπείροις θαύμασιν, ὁ ἐν τῇ πόλει Βηθλεέμ, σαρκὶ τικτόμενος.

Στίχ. Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ὁ κόσμος ἀγάλλεται, τὰς ἀριστείας, τὰς σὰς καὶ τὰ θαύματα, καὶ τὰ κατορθώματα, ἀνακηρύττων ἀεί, Ἀναστασία, ἀθλητῶν τὸ ἐγκαλλώπισμα.

Στίχ. Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.

Ὑμνοῦμεν τοὺς πόνους σου, Ἀναστασία, τὰ ἆθλα τὰ στίγματα τὰ φρικτὰ τεράστια, τὴν πρὸς τὸν Κύριον, θείαν ἀγάπην, καὶ πολλὴν ὄντως οἰκείωσιν.

Στίχ. Ὑπεραγία Θεοτόκε πρέσβευε ὑπέρ ἡμῶν. Θεοτοκίον

Σαρκοῦται ὁ ἄσαρκος, δι' εὐσπλαγχνίαν, ἐκ Κόρης τικτόμενος, Μάγοι εὐτρεπίζονται, ἀνατολῶν Βασιλεῖς, τοῦτον θεάσασθαι πιστῶς, καὶ προσκυνῆσαι σαρκί.

Κανὼν δεύτερος τῆς Ἁγίας

Ὠδὴ α' Ἦχος πλ. δ' Ἄσμα ἀναπέμψωμεν λαοί,

Στίχ. Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.

Ὕμνον ἀναπέμψωμεν Θεῷ τῷ μέλλοντι τεχθήσεσθαι, σαρκὶ ἐκ τῆς Παρθένου, ἐν Βηθλεὲμ τῇ πόλει, καὶ φάτνῃ τεθήσεσθαι, νήπιον ὥσπερ βρέφος, ἵνα σώσῃ, ἀνθρώπων τὸ γένος.

Στίχ. Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.

Μόνον τὸ ἐράσμιον Χριστοῦ, Ἀναστασία ἔνδοξε, κάλλος ζητήσασα, παρέδραμες τὰ κάλλη, τοῦ κόσμου στερρότητι, γνώμης καὶ ἀθανάτου, κληρουχίας, Μάρτυς ἠξιώθης.

Δόξα...

Νύκτα τοῦ τῆς πλάνης σκοτασμοῦ, τῷ φωτισμῷ τοῦ Πνεύματος, αὐγαζομένη Σεμνή, παρέδραμες ἐμφρόνως· καὶ νῦν κατεσκήνωσας, ἔνθα τὸ θεῖον φέγγος, τῆς ἀκτίστου Τριάδος ὑπάρχει.

Καὶ νῦν... Θεοτοκίον

Ὤφθη ὁ ἀόρατος Θεός, ὑπερφυῶς τικτόμενος, δι' εὐσπλαγχνίαν πολλήν, ἐκ σοῦ Παρθενομῆτορ, πτωχεύσας ὁ πλούσιος, ὅπως ἀθανασίαν, τῶν ἀνθρώπων τὸ γένος πλουτίσῃ.

Προεόρτιος

Ὠδὴ γ' Ἦχος πλ. β' Ὁ Εἱρμός

Κύριος ὢν πάντων, καὶ Κτίστης Θεός, τὸ κτιστὸν ὁ ἀπαθής, πτωχεύσας ἑαυτῷ ἥνωσε· καὶ ὡς βρέφος φερόμενος σαρκί, ἐν φάτνῃ πενιχρᾷ προσκυνεῖται. Φάγετε βοῶν τὸ σῶμά μου, καὶ πίστει στερεωθήσεσθε. (δίς)

Στίχ. Δόξα σοι ὁ Θεός ἡμῶν, δόξα σοι.

Ῥύσιον κενῶσαι, ἐρχόμενον νῦν, ὑπὲρ κόσμου τὸ οἰκεῖον αἷμα, Χριστὸν θρασύνεται, ὁ Ἡρῴδης τοῦ κτεῖναι πρὸ καιροῦ, μανεὶς πρὸ τῆς μανίας Πιλάτου· ὅθεν φονικῇ ὠμότητι, τῶν Βρεφῶν στίφη κατέσφαξεν.

Στίχ. Δόξα σοι ὁ Θεός ἡμῶν, δόξα σοι.

Ἄφρων ἀνήρ, ἔφη· οὐκ ἔστι Θεός· ὃς μανίας πληρωθεὶς ἐσχάτης, Χριστοκτονίαν νοσεῖ, τοῦ σκοποῦ δὲ τῆς τόλμης ἐκπεσών, πρὸς φόνον βρεφῶν ἀπειροκάκων, ὅλον ἑαυτὸν ἐξώπλισε, καὶ γῆν ἐμίανεν αἵμασιν.

Τῆς Ἁγίας

Ἦχος α΄ Λίθον ὃν ἀπεδοκίμασαν

Ἔνδον τοῦ Σπηλαίου τίκτεται, ὁ πρὸ ἑωσφόρου, ἐκ γαστρὸς ἐκλάμψας, ὑπὲρ νοῦν καὶ λόγον, καὶ τοῦτον οὐρανόθεν, ἀστὴρ ὑποδείκνυσι, ἀστρολόγοις ἐμφανῶς, τοῦτον πιστοὶ ὑμνολογήσωμεν.

Στίχ. Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.

Ἴδε ἱερὰ πανήγυρις, ἡμῖν ἐτησίως ἔλαμψεν ἡ μνήμη, ἡ τῆς Ἀθληφόρου, ἐν ταύτῃ φωτισθέντες, Θεὸν ἀνυμνήσωμεν, τὸν μεγαλύναντα αὐτὴν θεοπρεπῶς, θαυματουργίαις πολλαῖς.

Στίχ. Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.

Στόμα θεολόγων ἤνοιξας, μέσον τοῦ σταδίου, καθομολογοῦσα, τοῦ Χριστοῦ τὸ πάθος, καὶ πάσχουσα προθύμως, ἐντεῦθεν γεγένησαι, πᾶσι τοῖς κάμνουσιν ἀεί, Μάρτυς σεμνή, καταφυγὴ καὶ λιμήν.

Στίχ. Ὑπεραγία Θεοτόκε πρέσβευε ὑπέρ ἡμῶν.Θεοτοκίον

Οὗτος μόνος ὁ Θεὸς ἡμῶν, ἐκ σοῦ Παρθένε, σάρκα ὑπὲρ λόγον, ἀληθῶς φορέσας, τεχθῆναι ἐν Σπηλαίῳ, ἐπείγεται ὅπως με, οἶκον γενόμενον λῃστῶν, δείξῃ ναὸν τοῦ θείου Πνεύματος.

Ἄλλος

Ἦχος πλ. δ΄ Οὐρανίας ἁψῖδος

Σπαργανούμενον βρέφος, ὁ ἀναφὴς Κύριος, μέλλει καθορᾶσθαι, ἐν φάτνῃ ἀνακλινόμενος, ὄρη σκιρτήσατε, καὶ ἀγαλλίασιν θείαν, οἱ βουνοὶ ἐνδύσασθε, φωτὸς πληρούμενοι.

Στίχ. Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.

Εὐσεβεῖ παρρησίᾳ, τῶν διωκτῶν ἤμβλυνας, τὰ πεπυρωμένα, ῥημάτων βέλη σωτήριον, λόγον πλουτήσασα, Ἀναστασία καὶ θείῳ πόθῳ τὰ κινήματα, ψυχῆς ἰθύνασα.

Δόξα...

Μόνον Μάρτυς ἐβόας, ἐπιζητῶ Κύριον, μόνῃ τῇ αὐτοῦ ἀγαπήσει, ψυχὴν προσέδησα· τούτου ἐλλάμπεσθαι, καθαρωτάταις πλουσίως, ἀστραπαῖς ἐπείγομαι, ἤθους ἁπλότητι.

Καὶ νῦν...... Θεοτοκίον

Ἀπειρόγαμε Κόρη, τὸν τῇ χειρὶ φέροντα, ἅπασαν τὴν κτίσιν, ἐν μήτρᾳ φέρεις σαρκούμενον, ὃν καὶ τικτόμενον, ἀνακλινεὶς ἐν τῇ φάτνῃ, βρέφος καθορώμενον, τόν προαιώνιον.

Συναπτὴ μικρά καὶ ἡ Ἐκφώνησις

Ὅτι σὺ εἶ ὁ Θεός ἡμῶν,...

Κάθισμα τῆς Ἁγίας

Ἦχος πλ. δ΄ Τὴν Σοφίαν

Τῶν Μαρτύρων ζηλοῦσα τὴν ἀρετήν, συμπαθείᾳ καρδίας τούτων θερμῶς, ταῖς χρείαις ἑκάστοτε, διηκόνεις θεόπνευστε, καὶ τοὺς ἰχῶρας πίστει, ἐξέματτες χαίρουσα, ἐν μηδενὶ θεμένη, τὰ πρόσκαιρα βάσανα· ὅθεν ἐπὶ τέλει, συσχεθεῖσα καὶ πόνους, πολλοὺς ὑπομείνασα, στερροτάτως ἐνήθλησας, Ἀναστασία πανεύφημε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα...

Ἦχος πλ. δ´
Τὸ προσταχθὲν μυστικῶς ς.

Ταῖς ἀρεταῖς μυστικῶς διηνθισμένη, καὶ ἀγωγαῖς μαρτυρικαῖς ὡραϊσμένη, Ἀθληφόρε θεόφρον Ἀναστασία, μετέστης πρὸς τὸν νυμφῶνα τὸν θεϊκόν, καὶ δόξης κατηξιώθης τῆς ὑπὲρ νοῦν˙ διὸ βρύεις ἰάματα, τοῖς τῷ σεπτῷ σου ναῷ, προστρέχουσιν ἐκ πίστεως, καὶ τιμῶσι τοὺς ἄθλους σου.

Καὶ νῦν... Προεόρτιον. Ὅμοιον.

Τῶν Γενεθλίων τοῦ Χριστοῦ τὰ Προεόρτια, ἐπιτελοῦντες οἱ πιστοὶ πανηγυρίσωμεν, καὶ ἀξίως ἅπαντες προϋπαντήσωμεν, ὡς Μάγοι δωροφοροῦντες τὰς ἀρετάς, καὶ ᾄδοντες τῶν Ἀγγέλων ᾆσμα καινόν, τῷ ἐκ Κόρης Θεόπαιδος, ἐν Βηθλεὲμ ἄνευ σπορᾶς, τικτομένῳ Θεῷ ἡμῶν· ὃν δοξάζει τὰ σύμπαντα.

Συναπτὴ μικρά καὶ ἡ Ἐκφώνησις
Σὺ γὰρ εἶ ὁ Βασιλεύς...
Κοντάκιον τῆς Ἁγίας
Ἦχος β´ Τὰ ἄνω ζητῶν

Οἱ ἐν πειρασμοῖς, καὶ θλίψεσιν ὑπάρχοντες, πρὸς τὸν σὸν ναόν, προστρέχοντες λαμβάνουσι, τὰ σεπτὰ ἰάματα, τῆς ἐν σοὶ οἰκούσης θείας χάριτος· Ἀναστασία σὺ γὰρ ἀεί, τῷ κόσμῳ πηγάζεις τὰ ἰάματα.

Ὁ Οἶκος

Τῆς Ἀναστάσεως τοῦ Κυρίου συνεπώνυμος οὖσα, πεπτωκότα με νῦν ἀνάστησον ταῖς πρεσβείαις σου, ἐκ τῶν θαυμάτων τῶν σῶν, σταγόνα ἐπιστάξασα, Μάρτυς τῇ ψυχῇ μου, καὶ τὸν φλογμὸν τῆς δεινῆς ἁμαρτίας κατασβέσασα· τὸν κόσμον γὰρ διασῴζεις ἐκ παθῶν πολυτρόπων ἑκάστοτε, ὧν περ κἀγὼ πεπείραμαι· σὺ γὰρ πάντα τοῖς πᾶσι παρέχουσα, τῷ κόσμῳ πηγάζεις τὰ ἰάματα.

Συναξάριον

Τῇ ΚΒ´ τοῦ μηνός Δεκεμβρίου, Μνήμη τῆς Ἁγίας μεγαλομάρτυρος Ἀναστασίας, τῆς Φαρμακολυτρίας.

Στίχοι

Ἀναστασία φάρμακον πιστοῖς μέγα,
Πᾶν φάρμακον λύουσα, καὶ κεκαυμένη.
Καύθη Ἀναστασία πυρὶ δευτέρᾳ εἰκάδι λαύρῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Χρυσογόνου.

Στίχοι

Δίδωσι Χρυσόγονος αὐχένα ξίφει,
Ὁ πνεῦμα χρυσοῦς, χάλκεος δὲ τὸ σθένος.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς Ἁγίας Μάρτυρος Θεοδότης καὶ τῶν τέκνων αὐτῆς.

Στίχοι

Ἡ Θεοδότη πῦρ φέρει σὺν φιλτάτοις,
Φίλτρῳ Θεοῦ ζέουσα, καὶ πυρὸς πλέον.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ ἁγίου Μάρτυρος Ζωΐλου.

Στίχοι

Ζωὴν ῥέουσαν ἐκλιπὼν ὁ Ζωΐλος
Ζωὴν μένουσαν εὗρεν ἐν ζώντων τόπῳ

Τῇ αὐτῇ ἡμέρᾳ, τὰ θυρανοίξια τῆς τοῦ Θεοῦ μεγάλης Ἐκκλησίας.

Στίχοι

Αἴρουσιν ἄνδρες ἱεροὶ Χριστοῦ πύλας
Τοὺς Δαυῒδ ἡμῖν ἐκτυπούμενοι νόας.

Τῇ αὐτῇ ἡμέρᾳ, τὸ φωτοδρόμιον τῆς τοῦ Θεοῦ Ἐκκλησίας.

Στίχοι

Τρέχοντα φῶτα σήμερον Ναοῦ κύκλῳ,
Δηλοῦσι φωτὸς εἰς τὸ πᾶν θείου δρόμον.

Ταῖς τῶν Ἁγίων σου πρεσβείαις, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

ΚΑΤΑΒΑΣΙΑΙ

Ὠδὴ α΄ Ἦχος α΄

Χριστὸς γεννᾶται, δοξάσατε· Χριστὸς ἐξ οὐρανῶν, ἀπαντήσατε. Χριστὸς ἐπὶ γῆς, ὑψώθητε. Ἄσατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ, καὶ ἐν εὐφροσύνῃ, ἀνυμνήσατε λαοί, ὅτι δεδόξασται.

Ὠδὴ γ΄

Τῷ πρὸ τῶν αἰώνων, ἐκ Πατρὸς γεννηθέντι ἀῤῥεύστως Υἱῷ, καὶ ἐπ᾿ ἐσχάτων ἐκ Παρθένου, σαρκωθέντι ἀσπόρως, Χριστῷ τῷ Θεῷ βοήσωμεν· Ὁ ἀνυψώσας τὸ κέρας ἡμῶν, ......Ἅγιος εἶ Κύριε.

Ὠδὴ δ΄

Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐξ αὐτῆς Χριστέ, ἐκ τῆς Παρθένου ἀνεβλάστησας, ἐξ ὄρους ὁ αἰνετός, κατασκίου δασέος, ἦλθες σαρκωθεὶς ἐξ ἀπειράνδρου, ὁ ἄϋλος καὶ Θεός· Δόξα τῇ δυνάμει σου, Κύριε.

Ὠδὴ ε΄

Θεὸς ὢν εἰρήνης, Πατὴρ οἰκτιρμῶν, τῆς μεγάλης Βουλῆς σου τὸν Ἄγγελον, εἰρήνην παρεχόμενον, ἀπέστειλας ἡμῖν· ὅθεν θεογνωσίας, πρὸς φῶς ὁδηγηθέντες, ἐκ νυκτὸς ὀρθρίζοντες, δοξολογοῦμέν σε, φιλάνθρωπε.

Ὠδὴ ς΄

Σπλάγχνων Ἰωνᾶν, ἔμβρυον ἀπήμεσεν, ἐνάλιος θήρ, οἷον ἐδέξατο· τῇ Παρθένῳ δέ, ἐνοικήσας ὁ Λόγος καὶ σάρκα λαβών, διελήλυθε φυλάξας ἀδιάφθορον· ἧς γάρ, οὐχ ὑπέστη ῥεύσεως, τὴν τεκοῦσαν, κατέσχεν ἀπήμαντον.

Ὠδὴ ζ΄

Οἱ Παῖδες εὐσεβείᾳ συντραφέντες, δυσσεβοῦς προστάγματος καταφρονήσαντες, πυρὸς ἀπειλὴν οὐκ ἐπτοήθησαν, ἀλλ᾿ ἐν μέσῳ τῆς φλογός, ἑστῶτες ἔψαλλον· Ὁ τῶν Πατέρων, Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η΄

Στίχ. Αἰνοῦμεν, εὐλογοῦμεν καί προσκυνοῦμεν τὸν Κύριον

Θαύματος ὑπερφυοῦς ἡ δροσοβόλος, ἐξεικόνισε κάμινος τύπον, οὐ γὰρ οὓς ἐδέξατο φλέγει Νέους, ὡς οὐδὲ πῦρ τῆς Θεότητος, Παρθένου ἣν ὑπέδυ νηδύν· διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν· Εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω, εἰς πάντας τοὺς αἰῶνας.

*Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτός...*

ΤΙΜΙΩΤΕΡΑ. Ἦχος α΄

Στίχ. Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

Τὴν Τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Στίχ. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

Στίχ. Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ, καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.

Στίχ. Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.

Στίχ. Καθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσε ταπεινούς, πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς.

Στίχ. Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

Καταβασία

Στίχ. Μεγάλυνον, ψυχή μου, τὴν τιμιωτέραν, καὶ ἐνδοξοτέραν τῶν ἄνω στρατευμάτων.

Μυστήριον ξένον, ὁρῶ καὶ παράδοξον! οὐρανὸν τὸ Σπήλαιον, θρόνον Χερουβικόν, τὴν Παρθένον, τὴν φάτνην χωρίον, ἐν ᾧ ἀνεκλίθη ὁ ἀχώρητος, Χριστὸς ὁ Θεός, ὃν ἀνυμνοῦντες μεγαλύνομεν.

Συναπτὴ μικρὰ καὶ ἡ Ἐκφώνησις

*Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις...*

Ἐξαποστειλάριον τῆς Ἁγίας

Γυναῖκες ἀκουτίσθητε.

Χριστῷ ἐνατενίζουσα, τῷ ποθητῷ νυμφίῳ σου, τοῦ μαρτυρίου ὑπῆλθες, καρτερικῶς τὸν ἀγῶνα, καὶ ἐν φωτὶ ἐσκήνωσας, αὐτοῦ τῆς Ἀναστάσεως, Ἀναστασία ἔνδοξε, τὸν φωτισμὸν αἰτουμένη, τοῖς εὐσεβῶς σε τιμῶσι.

Ἕτερον. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Παρθενομάρτυς ἔνδοξε, Ἀθλοφόρων τὸ κλέος, Ἀναστασία πάνσοφε, δυσωποῦσα μὴ παύσῃ, τὸν ἐκ Παρθένου νῦν Κόρης, τῆς Ἁγνῆς Θεοτόκου, τεχθῆναι προερχόμενον, ἐν Σπηλαίῳ καὶ Φάτνῃ, ἁμαρτιῶν, δοῦναι λύσιν πᾶσι τοῖς ἐκτελοῦσι, τὴν παναγίαν μνήμην σου, καὶ τιμῶσί σε πόθῳ.

Προεόρτιον. Ὅμοιον.

Τὴν ἐκ Παρθένου Γέννησιν, τοῦ Χριστοῦ προκηρύττει, ἡ φωτοφόρος μνήμη σου, Μάρτυς Ἀναστασία, ἐν Βηθλεὲμ συγκαλοῦσα, Μάγους μὲν ἐκ Περσίδος, σὺν δώροις· τοὺς Ποιμένας δέ, μετ᾽ Ἀγγέλων πρὸς ὕμνον· σὺ γὰρ σαυτήν, ὡς χρυσὸν καὶ λίβανον καὶ ὡς σμύρναν, προσῆξας τῷ Δεσπότῃ σου, ἐναθλοῦσα θεόφρον.

ΑΙΝΟΙ Ἦχος πλ. α΄

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν· αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, πάντες οἱ Ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

*Στίχ.* Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

*Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.*

Δεῦτε ᾀσματικῶς οἱ πιστοί, τῆς Ἀθληφόρου τὴν ἁγίαν πανήγυριν, ἐνδόξου Ἀναστασίας, ἐπιτελέσωμεν νῦν, ἐν ἀγαλλιάσει ἑορτάζοντες˙ ἰδοὺ γὰρ ἀνέτειλεν, ἐπινεύσει τῇ ἄνωθεν, τῇ Ἐκκλησίᾳ, ὡς ἀστὴρ οὐρανόφωτος, ταῖς λαμπρότησι, τῶν θαυμάτων φωτίζουσα, πάντας τοὺς καταφεύγοντας, αὐτῇ μετὰ πίστεως, καὶ ἀναπέμποντας δόξαν, τῷ ἐκ Παρθένου Θεόπαιδος, τεχθῆναι ἐν πόλει, Βηθλεὲμ προερχομένῳ, δι΄ ἀγαθότητα.

*Στίχ.* Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρα.

Θείαις καταυγασθεῖσα τὸν νοῦν, διδασκαλίαις Χρυσογόνου τοῦ μάκαρος, εἰς μύρων ὀσμὴν ἁγίαν, Ἀναστασία Χριστοῦ, τοῦ παμβασιλέως ἠκολούθησας˙ ἐντεῦθεν μισήσασα, τὰς προσκαίρους τερπνότητας, τῆς εὐσεβείας, καταλλήλως ἐξήνθησας, τὴν εὐπρέπειαν, ἀρετῶν ἀγωνίσμασι˙ ἄθλοις δὲ μαρτυρίου σου, ἐχθρὸν θριαμβεύσασα, ἐν τῷ νυμφῶνι τῆς δόξης, τῆς ἀθανάτου κατέπαυσας, Θεὸν δυσωποῦσα, ὑπὲρ πάντων τῶν τιμώντων, πιστῶς τὴν μνήμην σου.

*Στίχ.* Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Χρείαις τῶν Ἀθλοφόρων Χριστοῦ, διακονοῦσα θεολήπτῳ φρονήματι, καὶ στέργουσα ἐκ καρδίας, Ἀναστασία αὐτῶν, τὴν κατὰ τυράννων γενναιότητα, σαρκὸς τὴν ἀσθένειαν, ὁλοτρόπως ἀπέῤῥιψας, ἐν τῇ δυνάμει, τῆς δοθείσης σοι χάριτος, καὶ ἐχώρησας, πρὸς ἀθλήσεως στάδιον˙ ἔνθα προσομιλήσασα, βασάνοις τοῦ σώματος, διὰ πυρὸς ἀνηνέχθης, Θεῷ θυσία εὐπρόσδεκτος. Διὸ ἐκδυσώπει, ὑπὲρ πάντων τῶν τελούντων, τὴν θείαν μνήμην σου.

*Στίχ.* Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Πάντα ἀναθεμένη τὰ σά, τῇ ἀγαπήσει τοῦ ὡραίου Νυμφίου σου, θεόφρον Ἀναστασία, ἐν καρτερίᾳ ψυχῆς, τὴν ὁδὸν ὑπῆλθες τῆς ἀθλήσεως˙ ἐχθρῶν γὰρ τῆς πίστεως, τὴν μανίαν οὐκ ἔπτηξας, οὐδὲ βασάνων, καὶ πυρὸς τοῦ φλογίζοντος, ἐδειλίασας, ἀληθῶς τὴν δριμύτητα˙ ἀλλὰ ἐν πᾶσι δόκιμος, φανεῖσα ἀπέλαβες, τῶν ἰαμάτων τὴν χάριν, καὶ ἀπελαύνεις νοσήματα, ψυχῶν καὶ σωμάτων, ἐκ τῶν πίστει προστρεχόντων, τῇ ἀντιλήψει σου.

Δόξα... *Ἦχος πλ. α΄.*

Ἡ Ἐκκλησία σήμερον περιφανῶς, ἡμέραν θείας δόξης καὶ φωτισμοῦ, τὴν σεπτήν σου ἄγει

πανήγυριν, Ἀναστασία Μεγαλομάρτυς πανεύφημε· σὺ γὰρ τῆς πίστεως τὸν ἀστέρα, ἔχουσα μυστικῶς ὁδηγοῦντά σε, τὸν γεννηθέντα ἐκ τῆς Παρθένου Ἥλιον, Χριστὸν τὸν ἀληθινὸν Θεὸν ἡμῶν, ἐν Βηθλεὲμ τῷ Σπηλαίῳ ἀνίχνευσας, καὶ μαρτυρίου αὐτῷ τὰ παλαίσματα, ὡς δῶρον τίμιον προσήνεγκας. Ὅθεν ὡς ἀντίδωρον παρ' αὐτοῦ, τὴν χάριν λαβοῦσα τῶν ἰαμάτων, εὐεργεσίας νέμεις δωρεάς, τοῖς προστρέχουσι τῷ πανσέπτῳ ναῷ σου, καὶ τιμῶσι τὴν ἁγίαν σου ἄθλησιν.

Καὶ νῦν... *Προεόρτιον. Ὁ αὐτός.*

Μὴ στύγναζε Ἰωσήφ, καθορῶν μου τὴν νηδύν· ὄψει γὰρ τὸ τικτόμενον ἐξ ἐμοῦ καὶ χαρήσῃ, καὶ ὡς Θεὸν προσκυνήσεις, ἡ Θεοτόκος ἔλεγε, τῷ ἑαυτῆς Μνηστῆρι, μολοῦσα τοῦ τεκεῖν τὸν Χριστόν. Ταύτην ἀνυμνήσωμεν λέγοντες· Χαῖρε Κεχαριτωμένη, μετὰ σοῦ ὁ Κύριος, καὶ διὰ σοῦ μεθ' ἡμῶν.

*Δοξολογία Μεγάλη Ἦχος πλ. α΄*

Δόξα σοι τῷ δείξαντι τὸ φῶς. Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν, ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα· Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός,

Ἅγιος Ἰσχυρός,

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἀπολυτίκιον.

Ἦχος α'. Τῆς ἐρήμου πολίτης.

Φερωνύμως τῇ αἴγλῃ, τῆς Χριστοῦ Ἀναστάσεως, καταυγαζομένη Μαρτύρων, ἐμιμήσω τὴν ἔνστασιν, καὶ ἤθλησας ὡς ἄσαρκος στεῤῥῶς, τὴν φλόγα ὑποστᾶσα τοῦ πυρός· διὰ τοῦτο τῶν θαυμάτων τοὺς ποταμούς, πηγάζεις τοῖς ἐκβοῶσι· Δόξα τῷ σὲ ἰσχύσαντι Θεῷ· δόξα τῷ σὲ στεφανώσαντι· δόξα Ἀναστασία τῷ τὴν σήν, μνήμην δοξάζοντι.

## ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ ΑΝΤΙΦΩΝΑ

Ἀντίφωνον Α'

Ἦχος β'.

Στίχ. Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

Στίχ. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Στίχ. Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Στίχ. Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Δόξα Πατρί...Καὶ νῦν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Ἀντίφωνον Β'. Ἦχος β'.

Στίχ. Αἴνει, ἡ ψυχή μου τὸν Κύριον, αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Στίχ. Μακάριος, οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Στίχ. Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς·

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Στίχ.. Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιών, εἰς γενεὰν καὶ γενεάν.

Σῶσον, ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Δόξα Πατρὶ... Καὶ νῦν...

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων, καὶ καταδεξάμενος, διὰ τὴν ἡμετέραν σωτηρίαν, σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρω-θείς τε, Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, Εἷς ὢν τῆς ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.

Ἀντίφωνον γ΄

Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Φερωνύμως τῇ αἴγλῃ, τῆς Χριστοῦ Ἀναστάσεως, καταυγαζομένη Μαρτύρων, ἐμιμήσω τὴν ἔνστασιν, καὶ ἤθλησας ὡς ἄσαρκος στεῤῥῶς, τὴν φλόγα ὑποστᾶσα τοῦ πυρός· διὰ τοῦτο τῶν θαυμάτων τοὺς ποταμούς, πηγάζεις τοῖς ἐκβοῶσι· Δόξα τῷ σὲ ἰσχύσαντι Θεῷ· δόξα τῷ σὲ στεφανώσαντι· δόξα Ἀναστασία τῷ τὴν σήν, μνήμην δοξάζοντι.

Μικρὰ Εἴσοδος. Εἰσοδικὸν

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστός,, ὁ β΄ χορὸς ψάλλοντάς σοι, Ἀλληλούϊα.

Ἀπολυτίκια. Τὸ Προεόρτιον.

Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Ἑτοιμάζου Βηθλεέμ· ἤνοικται πᾶσιν ἡ Ἐδέμ. Εὐτρεπίζου Ἐφραθᾶ, ὅτι τὸ ξύλον τῆς ζωῆς, ἐν τῷ Σπηλαίῳ ἐξήνθησεν ἐκ τῆς Παρθένου. Παράδεισος καὶ γάρ, ἡ ἐκείνης γαστήρ, ἐδείχθη νοητός, ἐν ᾧ τὸ θεῖον φυτόν, ἐξ οὗ φαγόντες ζήσωμεν, οὐχὶ δὲ ὡς ὁ Ἀδὰμ τεθνηξόμεθα. Χριστὸς γεννᾶται, τὴν πρίν πεσοῦσαν, ἀναστήσων εἰκόνα.

Τῆς Ἁγίας

Φερωνύμως τῇ αἴγλῃ, τῆς Χριστοῦ Ἀναστάσεως....

Ἕτερον Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Παθεῖν ὡς προκρίνασα, ὑπὲρ τῆς δόξης Χριστοῦ, βασάνων ὑπήνεγκας, τὰς ἀνυποίστους πληγάς, καὶ χαίρουσα ἤθλησας. Ὅθεν Ἀναστασία, τῶν ἐπάθλων τυχοῦσα, βλύζεις τῶν ἰαμάτων, τὴν ἀείζωον χάριν, τοῖς ὕμνοις ἐπιτελοῦσι, τὴν θείαν μνήμην σου.

Τοῦ Ναοῦ

Κοντάκιον Προεόρτιον Ἦχος γ΄

Ἡ Παρθένος σήμερον, τὸν προαιώνιον Λόγον, ἐν Σπηλαίῳ ἔρχεται, ἀποτεκεῖν ἀποῤῥήτως. Χόρευε ἡ οἰκουμένη ἀκουτισθεῖσα, δόξασον μετὰ Ἀγγέλων καὶ τῶν Ποιμένων, βουληθέντα ἐποφθῆναι, Παιδίον νέον, τὸν πρὸ αἰώνων Θεόν.

Τρισάγιον Ἀποστόλου

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς. γ΄

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

Δύναμις.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

ΑΠΟΣΤΟΛΟΣ Τῆς Ἁγίας·

Προκείμενον. Ἦχος δ΄

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Στίχ. Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν.

Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα (Κεφ. γ' 23-29, δ' 1-5)

Ἀδελφοί, πρὸ τοῦ ἐλθεῖν τὴν πίστιν ὑπὸ νόμον ἐφρουρούμεθα συγκεκλεισμένοι εἰς τὴν μέλλουσαν πίστιν ἀποκαλυφθῆναι. Ὥστε ὁ νόμος παιδαγωγὸς ἡμῶν γέγονεν εἰς Χριστόν, ἵνα ἐκ πίστεως δικαιωθῶμεν· ἐλθούσης δὲ τῆς πίστεως οὐκέτι ὑπὸ παιδαγωγόν ἐσμεν. Πάντες γὰρ υἱοὶ Θεοῦ ἐστε διὰ τῆς πίστεως ἐν Χριστῷ Ἰησοῦ· ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. Οὐκ ἔνι Ἰουδαῖος οὐδὲ Ἕλλην, οὐκ ἔνι δοῦλος οὐδὲ ἐλεύθερος, οὐκ ἔνι ἄρσεν καὶ θῆλυ· πάντες γὰρ ὑμεῖς εἷς ἐστε ἐν Χριστῷ Ἰησοῦ. Εἰ δὲ ὑμεῖς Χριστοῦ, ἄρα τοῦ Ἀβραὰμ σπέρμα ἐστὲ καὶ κατ' ἐπαγγελίαν κληρονόμοι. Λέγω δέ, ἐφ' ὅσον χρόνον ὁ κληρονόμος νήπιός ἐστιν, οὐδὲν διαφέρει δούλου, κύριος πάντων ὤν, ἀλλὰ ὑπὸ ἐπιτρόπους ἐστὶ καὶ οἰκονόμους ἄχρι τῆς προθεσμίας τοῦ πατρός. Οὕτω καὶ ἡμεῖς, ὅτε ἦμεν νήπιοι, ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου ἦμεν δεδουλωμένοι· ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ, γενόμενον ἐκ γυναικός, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν.

*Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ Ἱεροῦ Χρυσοστόμου.*

Εἰς τὸ Ἐξαιρέτως

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σὲ τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Κοινωνικὸν

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

ἦχος β'

Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, ἐλάβομεν Πνεῦμα ἐπουράνιον, εὕρομεν πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες, αὕτη γὰρ ἡμᾶς ἔσωσεν.

Ἀμὴν ἀμὴν ἀμὴν, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν τὴν αἰώνιον.

Πληρωθήτω τὸ στόμα ἡμῶν αἰνέσεώς Κύριε, ὅπως ὑμνήσωμεν τὴν δόξαν σου, ὅτι ἠξίωσας ἡμᾶς τῶν ἁγίων σου μετασχεῖν μυστηρίων· τήρησον ἡμᾶς ἐν τῷ σῷ ἁγιασμῷ, ὅλην τὴν ἡμέραν μελετᾶν τὴν δικαιοσύνην σου. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

ἦχος β'

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. (τρίς) Ἀπόλυσις

Ἡ Μεταφορὰ Κειμένων
Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη
στὸν Ι.Ν. Ἁγίου Γεωργίου
Κουλούρας Βεροίας.